«οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστι», τουτέστιν οὐ συνεκτείνεται τὸ τῆς ζωῆς μέτρον τῇ περιουσίᾳ· οὐ γὰρ δὴ ὁ ἔχων πολλὰ ἤδη που καὶ εἰς μακρὸν ζήσεται, οὐδὲ σὺν τῇ προσθήκῃ τῶν χρημάτων καὶ προσθήκη ζωῆς ἐπεισέρχεται, οὐδὲ τῷ πλήθει τοῦ πλούτου μακροζωία τις ἕπεται. τοῦτο δὲ λέγει ὁ Κύριος, τοὺς τῶν φιλοπλουτούντων ἀνατρέπων λογισμούς. ἐπειδὴ γὰρ οἱ πολλοὶ θησαυρίζουσι χρήματα, ἵνα τούτοις χρῶνται γηράσαντες, καὶ φιλόψυχοι καὶ φιλόζωοι γίνονται, ὡς ἐπὶ μακρὸν βιώσεσθαι μέλλοντες, ἄθλιε, φησί, καὶ ταλαίπωρε· μὴ γὰρ ἐκ τοῦ ἔχειν προσγενήσεταί σοι καὶ τὸ μακρόβιον; τί τοίνυν κακοπαθεῖς προδήλως ὑπὲρ τῆς ἀδήλου ἀπολαύσεως; ἄδηλον μὲν γὰρ εἴ γε φθάσῃς εἰς γῆρας, οὗ ἕνεκα θησαυρίζεις· πρόδηλον δ' ὅτι νῦν δαπανᾷ περὶ τὸν πορισμὸν τῶν χρημάτων.

Ταῦτα γοῦν εἰπὼν καὶ διδάξας ὅτι οὐ τῇ περισσείᾳ τῶν χρημάτων καὶ ἡ τοῦ ἀνθρώπου ζωὴ συμπαρεκτείνεται πρὸς βεβαίωσιν τούτων ἐπιφέρει παραβολὴν τοῖς ἤδη ῥηθεῖσι κατάλληλον. ἐπεὶ δὲ παραβολῆς ἐμνήσθημεν, φέρ' ἴδωμεν τίς ἡ διαφορὰ τῆς παραβολῆς κατὰ τὸν σκοτεινὸν λόγον καὶ τὰς τῶν λόγων στροφὰς καὶ τὰς τῶν σοφῶν ῥήσεις καὶ τὰ αἰνίγματα. παραβολὴ μὲν οὖν ἐστι λόγος ὁμοίωσιν ἐμφαίνων κατά τι δύο τινῶν πρὸς ἄλληλα· οἷόν ἐστι τό, «ἠγρύπνησα καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος»· καὶ τό, «ἐγεννήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ», ὁμοίωσίν τινα δεικνύει τοῦ Χριστοῦ πρὸς τὰ εἰρημένα πτηνά. τὰ γάρ τοι στρουθία καὶ οἱ νυκτικόρακες, τὰς οἰκουμένας τῶν οἰκιῶν φεύγοντες, ταῖς ἐρήμοις καὶ καταλελειμμέναις οἰκίαις προστρέχουσι· τὰ γὰρ οἰκόπεδα ἐρείπιά τινες εἰρήκασιν. ὁ γοῦν Σωτὴρ καὶ αὐτὸς ἐν ἐρήμοις, φεύγων τὸν ὄχλον ὡς ἐπὶ τὸ πλεῖστον, ἐδίδασκεν· ἢ καὶ ἄλλως· παραβολή ἐστι λόγος ὡς περὶ γενομένου τινός, μὴ γεγονότος δέ.

Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα παραβολαί εἰσι. σκοτεινοὶ δὲ λόγοι

13—15 Θεοφ. Βουλγ. Migne P. G. 123, 885B 19 Ψαλμ. 100,7 20 Ψαλμ. 101,6 27 Ματθ. 13,3. Λουκ. 8,5

5 ἔπαιται F λέγει] λέγεται F 11 δῆλον F 13 περὶ τῇ περισσείᾳ F 16 πρὸς τὸν A 20 ἐγενέθην A 21 τινα om. A 23 οἰκείων F 24 οἰκείαις F 27 post γεγονότος δέ addit A: δυναμένου δέ γενέσθαι. τροπικῶς δὲ παραβολή ἐστι δηλωτικὴ πραγμάτων... τῶν ἐν τῇ παραβολῇ λελεγμένων, ὡς τό, «ἐξῆλθεν ὁ σπείρων»· οὐ γὰρ γέγονε κατὰ λέξιν ὡς λέγομεν γεγονέναι τὰς τῆς ἱστορίας, πλὴν δυνατὸν γενέσθαι καὶ κατὰ τὸ ῥητόν.

εἰσὶν αἱ παρὰ τοῖς ἔξω λεγόμεναι ἀλληγορίαι, αἳ ἄλλο μέν τι δηλοῦσι διὰ τῆς λέξεως, ἄλλο δέ τι παριστῶσι κατὰ τὸν νοῦν· οἷόν ἐστι τό, «φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων»· ἐνταῦθα γὰρ τὰ ἄπειρα πλήθη ὕδατα λέγει διά τε τὸ ταραχῶδες αὐτῶν καὶ ἠχητικόν· λέγει οὖν ὡς ἤρκεσε καὶ μόνῃ τῇ φωνῇ τοὺς Ἀσσυρίους τροπώσασθαι. ὅτι δὲ ὕδατα λέγεται τὰ ἔθνη ἄκουε καὶ τοῦ Ἀββακούμ· «ἐπεβίβασας», φησί, «τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά»· ἐνταῦθα γὰρ τὰς τῶν ἐθνῶν ἀγέλας ὕδασι παρεικάζει· ἵππους γε μὴν τοὺς ἁγίους ἀποστόλους καλεῖ. καὶ σκόπει πῶς τὸ σχῆμα τῆς τροπῆς ὁ λόγος τετήρηκε· πρότερον χαλινοὺς ὀνομάσας, ἵππους ὕστερον ἐκάλεσεν, οἷς αὐτὸς ἐποχεῖται Χριστός, ἐνιζήσας ὥσπερ εἰς νοῦν καὶ καρδίαν. ὅτι τοίνυν ἔμελλον παιδαγωγῆσαι πρὸς πίστιν οὐ μόνον τοὺς ἐξ Ἰσραήλ, ἀλλὰ καὶ αὐτὴν τὴν τῶν ἑτέρων ἐθνῶν πλείστην τε ὅσην καὶ ἀμέτρητον πληθὺν ὁ προφήτης παρίστησι· θαλάσσῃ μὲν γὰρ ἀπεικάζει τὸν κόσμον, ὕδασι πολλοῖς δὲ τὰς τῶν ἐθνῶν ἀγέλας τὰς ἀνὰ πᾶσαν τὴν γῆν. ἵππους γε μήν, ὡς ἔφην, τοὺς ἁγίους ἀποστόλους ἐκάλεσεν, οἳ πᾶσαν περινοστοῦντες τὴν ὑπ᾽ οὐρανόν, μονονουχὶ ῥέγχοντας καὶ ἐνηρεμοῦντας τῇ πλάνῃ τῆς εἰδωλολατρείας ἐτάραττον. τεθορυβήκασι δὲ καλοῦντες εἰς δέος, ὡς εἰς κόλασιν βαδιουμένους καὶ τὴν διὰ πυρὸς δίκην ὑποστησομένους, εἰ μὴ μετανοεῖν ἕλοιντο καὶ τὸν φύσει τε καὶ ἀληθῶς ἐπιγνῶναι Θεόν. οὐκοῦν τὸ ταραττόμενον ὕδωρ ἡ πληθύς ἐστιν ἡ κατὰ τὸν κόσμον· θαλάσσῃ γὰρ ὁ ἀνθρώπινος βίος παρέοικεν, ὅτι πολλὴ τῶν ἐν αὐτῷ πραγμάτων ἡ τύρβη καὶ ἡ πρὸς τὸ ἄνω τε καὶ κάτω καὶ εἰς πᾶν ὁτιοῦν ἀνάχυσίς τε καὶ κίνησις, πολὺ δὲ τὸ ὕδωρ τὸ ταραττόμενον ὡς πρός γε τὸν Ἰσραήλ· οἱ μὲν γὰρ ἔθνος ἦσαν ἕν, τὰ δέ ἐστι παντὸς ἀριθμοῦ κρείττονα. καθόλου δὲ οἱ προφητικοὶ λόγοι σκοτεινοὶ καὶ συνεσκιασμένοι εἰσί.

Στροφαὶ δὲ λόγων αἱ ἐκ τῆς ψευδωνύμου γνώσεως ἀντιθέσεις τυγχάνουσιν· οὐ καταδεχόμενοι γὰρ τὸ ἁπλοῦν τῆς πνευματικῆς διδασκαλίας οἱ ἐκ τῆς διαλεκτικῆς πρὸς τὰς ἀντιλογίας ἠκονημένοι περιτρέπειν ἐπιχειροῦσι τὴν ἰσχὺν τῆς ἀληθείας τῇ πιθανολογίᾳ τῶν σοφισμάτων. στροφὰς δὲ λόγων οὐκ ἀφυῶς τινες ἐξειλήφασι

---

4 Ψαλμ. 28,3 7 Ἀββακ. 3,15

6 Ἀμβακοὺμ F ἀπεβίβασας F 7 τὰς om. F 9 πῶς om. F 11 ὅτι] ὅτε AF 14 γὰρ om. F 19 εἰμὶ F 20 ἐπιγνῶσι F 22 πραγμάτων] προβάτων(!) A 23 πρὸς] παρὰ F 24 πολὺ καὶ A

καὶ τὰ καλούμενα ὑπερβατά, οἷόν ἐστιν ἐν τοῖς Ψαλμοῖς· «τὰ βέλη σου ἠκονημένα, δυνατέ, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως». εἶτα· «λαοὶ ὑποκάτω σου πεσοῦνται». καὶ πάλιν· «ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν»· ἀναστρέψας γάρ τις οὕτως ἐρεῖ· «ὅτι ἐσίγησα ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν, ἐπαλαιώθη τὰ ὀστᾶ μου», ἵνα σημάνῃ τοῦτο· ἐπειδὴ ἀπὸ τῆς πρὸς σὲ κραυγῆς καὶ δεήσεως καὶ αἰνέσεως ἐπαυσάμην, διὰ τοῦτο ἐξηράνθη τὰ ὀστᾶ μου· τότε γὰρ ὅτε ὕμνουν σου τὸ ὄνομα διὰ τῶν πράξεων, ὦ Θεέ, ἐλιπαίνετό μου τὰ ὀστᾶ· ὀστᾶ δέ μοι τὰς ψυχικὰς δυνάμεις ἐκλάμβανε.

Αἴνιγμα δὲ λόγος μετ᾽ ἐπικρύψεως, σημαίνων τὸ ἀληθὲς ἢ καὶ ἀπόῤῥητόν τι καὶ μυστικόν, ὥς τό· «ἐξῆλθεν ἀπὸ τοῦ στόματος ἰσχυροῦ γλυκύ»· καὶ ἐν τοῖς Κριταῖς· «πορευόμενα ἐπορεύθησαν τὰ ξύλα τοῦ χρῖσαι ἐφ᾽ ἑαυτῶν βασιλέα». τίνα γὰρ τὰ τρία καρποφόρα ξύλα; ἡ συκῆ, ἡ ἄμπελος, ἡ ἐλαία, μὴ βουληθέντα βασιλεύειν τῶν οὐκ ἀξίων τῆς αὐτῶν βασιλείας ξύλων. καὶ τίς ἡ ἀκανθώδης ῥάμνος; «καὶ πῦρ ἐξ αὐτῆς ἀφεῖσα κατεσθίειν τὰς κέδρους τοῦ λιβάνου», τοῦ σοφοῦ ἐστιν εἰδέναι, ἀναφέροντος ταῦτα μὲν ἐπὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, τὴν δὲ ῥάμνον ἐπὶ τὸν ἀντικείμενον. ἔστι δὲ καὶ ἐν ταῖς Βασιλείαις αἴνιγμα τοιοῦτον· «ὁ καὶ ἐν τῷ λιβάνῳ ἀπέστειλε πρὸς τὴν κέδρον τὴν ἐν τῷ λιβάνῳ λέγων· δὸς τὴν θυγατέρα τῷ υἱῷ μου εἰς γυναῖκα». εὕροις δ᾽ ἂν καὶ ἐν τοῖς Προφήταις αἰνίγματα, ὡς ἐν τῷ Ἰεζεκιήλ· «ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυγος· ὁ μακρὸς τῇ ἐκτάσει, πλήρης πτίλων» καὶ τὰ ἑξῆς.

Ῥήσεις δὲ σοφῶν εἰσιν οἱ ἔντεχνοι καὶ ποικίλοι λόγοι τῶν ἔξωθεν φιλοσόφων, περὶ ὧν εἴρηται· «ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν»· καὶ τό, «ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν». ἀλλ᾽ ἐπειδὴ ταῦτα πρὸς διάκρισιν παραβολῆς καὶ αἰνίγματος καὶ τῶν ἄλλων, ὧν ἀρτίως ἐμνήσθημεν, ἱκανῶς ὑμῖν διευκρίνηται, φέρε δὴ καὶ τὰ εὐαγγελικὰ ἐξετάσωμεν ῥήματα.

---

1 Ψαλμ. 44,5 2 Ψαλμ. 31,3 11 Κριτ. 14,14 12 Κριτ. 9,8 15 Κριτ. 9,14 19 IV. Βασιλ. 9 22 Ἰεζ. 17,3 25 1 Κορ. 3,19

1 καὶ τὰ om. F σου om. A 2 ἐν καρδίᾳ... εἶτα om. A 4—6 ἀναστρέψας... ὀστᾶ μου om. F 8 ὦ om. F 11 τοῦ om. A in marg. Σαμψών, Κριταὶ F 16 ἀφιεῖσα A σοφιστοῦ F 17 ἀναφαίροντος F 18 ἐν τοῖς Βασιλείοις F 19 ὁ καὶ] ὁ γὰρ F 22 ὁ αὐτὸς ὁ μέγας F 24 οἱ ἔντεχνοι λόγοι καὶ ποικίλοι A 26 σοφῶν καὶ τὴν σύνεσιν F

»Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα· καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων· τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου;

Ἀνόητον ἡμῖν ὑπογράφει τὸν πλούσιον καὶ ἄπληστόν τινα καὶ ἀκόρεστον. ὁ μὲν γὰρ Θεὸς τὰ ἑαυτοῦ ἐποίει καὶ τὴν οἰκείαν εὐσπλαγχνίαν ὑπέφαινεν· οὐ γὰρ ἓν γήδιον τοῦ πλουσίου, ἀλλὰ «πᾶσα» ἡ χώρα εὐφόρησεν, ἐπειδὴ ἡ τοῦ ἄρθρου προσθήκη τὸ καθόλου δηλοῖ· οὐ γὰρ εἶπεν ὅτι εὐφόρησε «χώρα» τοῦ πλουσίου—οὕτως γὰρ ἂν μέρος τι τῆς χώρας ἐννοήσαιμεν—, ἀλλ' «ἡ» χώρα· ὥστε δείκνυσιν ὅτι ἅπασα εὐφόρησεν. ὥσπερ γάρ, ἐὰν εἴπω «ἄνθρωπος» τρέχει ἄνευ τοῦ ἄρθρου, τινὰ δηλῶ καὶ οὐ πάντα ἄνθρωπον, καὶ ἐὰν εἴπω ὅτι ὁ ἄνθρωπος ζῷον λογικόν ἐστι, ταὐτόν ἐστιν ὡς ἂν εἰ ἔλεγον «πᾶς ἄνθρωπος» λογικὸν ζῷόν ἐστι, οὕτω καὶ ἐνταῦθα ἐν τῷ εἰπεῖν «ἡ χώρα» μετὰ τοῦ ἄρθρου τὴν ἅπασαν δηλοῖ γῆν. ὁ μὲν οὖν Θεὸς τὰ ἑαυτοῦ ἐνεδείξατο δι' οἰκείαν ἀγαθότητα· ὁ δὲ οὕτως ἦν περὶ τὴν ἐλεημοσύνην ἄκαρπος, ὥστε πρὶν ἢ λαβεῖν συνεῖχε καὶ πρὶν ἢ συνάξαι τοὺς καρποὺς ἀπετίθει. οὔπω εἶχε καὶ τοῖς ἐνδεέσιν ἐβάσκανεν. οὐκ ἐμνήσθη τῆς κοινῆς φύσεως· οὐχ ἡγήσατο δέον τὸ περισσεύειν καταμερίσαι τοῖς χρήζουσιν. αἱ ἀποθῆκαι διεῤῥήγνυντο τῷ πλήθει τῶν ἀποκειμένων στενοχωρούμεναι, ἡ δὲ μισάνθρωπος αὐτοῦ καρδία οὐκ ἐνεπίμπλατο, ἀλλ' ἀεὶ τὰ νέα τοῖς παλαιοῖς προστιθεὶς καὶ ταῖς κατ' ἔτος εὐκαρπίαις τὴν εὐπορίαν προσαύξων, κόρον οὐκ ἐλάμβανε· τὰ μὲν παλαιὰ κατέχων διὰ μισανθρωπίαν, τὰ δὲ νέα προσθεὶς διὰ πλεονεξίαν, καίτοι μὴ ἐξαρκῶν ταῦτα διὰ τὸ πλῆθος ὑποδέχεσθαι. διὸ καὶ εἰς ἀμηχανίαν ἐμπεπτωκώς, «τί ποιήσω», φησίν, «ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου;» ἄνθρωπον δὲ ἀκούων τὸν πλούσιον, σάρκινόν μοι νόει καὶ ὅλον ἐμπαθῆ καὶ κάτω ῥέποντα. ἔστι γάρ τι καὶ τοιοῦτον ἐν τῇ Γραφῇ σημαινόμενον, ὡς τό, «υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;» καί, «ἐγὼ εἶπα, Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄν-

---

3–5 Θεοφ. Βούλγ. Migne P. G. 123,885C 15—17 Θεοφ. Βουλγ. Migne P. G. 123,885C 28 Ψαλμ. 4,2 29 Ψαλμ. 81,6

3 τὸν om. A 7 τοῦ om. A 8 τῆς om. A δείκνυσθαι A 9 post εὐφόρησεν addit A: ἐπειδὴ ἡ τοῦ ἄρθρου προσθήκη τὸ καθόλου δηλοῖ 10 κἂν δὲ A 11 λογικὸν ζῷον A 14 δι' οἰκείαν, ὡς εἴπομεν A 15 πρὶν ἢ] πρινὴ F 17 κοινῆς] καινῆς F 19 τῷ πλήθει om. A 20 ἐνεμπίμπλαντο F 27 γάρ τοι F τῇ om. F.

θρωποι ἀποθνήσκετε καὶ ὡς εἷς τῶν ἀνθρώπων πίπτετε». ὅρα δέ μοι πῶς καὶ πρὸ τῆς εὐφορίας πλούσιος ἦν· ὁ γὰρ πανάγαθος Θεός, καίπερ εἰδὼς τὸ ἀκοινώνητον αὐτοῦ καὶ ἄσπλαγχνον, οὐκ ἐξ ἀρχῆς ἐπὶ τῇ ἀγνωμοσύνῃ τοῦ τρόπου κατέκρινεν, ἀλλ' ἀεὶ τῷ προϋπάρχοντι πλούτῳ πλοῦτον ἕτερον προσετίθει αὐτῷ, εἴ πως ποτὲ κόρον ἐμποιήσας τῇ τούτου ψυχῇ πρὸς τὸ μεταδοτικὸν καὶ φιλάνθρωπον αὐτὸν ἐκκαλέσαιτο. τοιοῦτος γὰρ ὁ πανοικτίρμων Θεός. μέχρι τέλους ἐπιμένει πάντας εὐεργετῶν καὶ ἀναμένων τὴν ἑκάστου διόρθωσιν. κἂν ἐστί τις πονηρὸς καὶ ἔλαβέ τινα δωρεὰν ἀπ' αὐτοῦ, οὐκ ἀφαιρεῖται ταύτην διὰ τὴν πονηρίαν αὐτοῦ. διὰ τοῦτο καὶ ἐνταῦθα εὐφορεῖ ἡ τοῦ πλουσίου χώρα, καίτοι μηδὲν ἀγαθὸν ἐκ τῆς εὐφορίας ποιήσειν μέλλοντος. τί δήποτε; ἵνα τὴν οἰκείαν ἐπιδείξῃ χρηστότητα ἤ τῇ δαψιλείᾳ τῶν δωρεῶν κόρον ἐμποιήσῃ τῷ ἀκορέστῳ καὶ πρὸς συμπάθειαν τὸν ἀσυμπαθῆ, ὡς εἴπομεν, ἐκκαλέσηται, ἢ τὴν ἀγνωμοσύνην αὐτοῦ ἀπελέγξῃ καὶ πᾶσι καταφανῆ κατεργάσηται. διττῶς γὰρ αἱ δοκιμαὶ τοῖς ἀνθρώποις ἐπάγονται, ὥς φησιν ὁ μέγας Βασίλειος, ἢ διὰ δυσπραγίας ἢ εὐπραγίας. αἱ μὲν γὰρ θλίψεις βασανίζουσαι τὰς καρδίας, ὥσπερ χρυσὸν ἐν καμίνῳ διὰ τῆς ὑπομονῆς τὸ δόκιμον αὐτῶν ἀπελέγχουσιν, αἱ δὲ εὐθηνίαι τοῦ βίου, ἀντὶ πειρατηρίου τοῖς πολλοῖς γινόμεναι, τὴν ἀχάριστον αὐτῶν γνώμην δήλην τιθέασιν. ὁμοίως γάρ ἐστι χαλεπόν ἔν τε συμφοραῖς καὶ περιστάσεσιν ἀταπείνωτον ἔχειν τὸ φρόνημα τῆς ψυχῆς καὶ ταῖς τοῦ βίου περιφανείαις μὴ πρὸς ὕβριν καὶ ἀλαζονείαν ἐκπεσεῖν. παράδειγμα δὲ τοῦ πρώτου εἴδους τῶν πειρασμῶν ὁ γενναῖος Ἰώβ, ὃς πᾶσαν τὴν τοῦ διαβόλου βιαίαν ἐπίθεσιν οὕτω στεῤῥῶς καὶ ἀτρέπτως ὑπήνεγκεν, ὡς λαμπρότερος ἐκ τῶν πειρασμῶν ἀναφανῆναι καὶ δοκιμώτερος, τοῦ δὲ δευτέρου αὐτὸς οὗτος ὁ νῦν προκείμενος πλούσιος. παρατηρητέον δὲ κἀνταῦθα πῶς ἀνώνυμος καὶ οὗτος εἰσάγεται καθάπερ κἀκεῖνος, ὃς «πορφύραν καὶ βύσσον ἐνεδιδύσκετο, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς»· ἄγνωστοι γὰρ ἀεὶ καὶ ἀνώνυμοι παρὰ τῷ Θεῷ οἱ ἀσυμπαθεῖς τε καὶ ἄσπλαγχνοι. ἐπεὶ γὰρ ὁ Θεὸς ἀγαθός μᾶλλον δὲ αὐτοαγαθότης καὶ παντὸς ἀγαθοῦ παροχεύς τε καὶ αἴ-

---

16 Μεγ. Βασιλ., Ὁμιλ. εἰς τὸ ῥητὸν τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου· «Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω» ἐν Migne, P. G. 31,261
17 Σοφ. Σαλομ. 3,6 Ἰακ. 1,3 21 Ῥωμ. 5,4

1 ἀποθνήσκεται F ἀνθρώπων] ἀρχόντων F μοι om. A 3 τῇ om. A 7 τοιοῦτον F 8 τις om. F 9 οὐκ] καὶ F 15 κατεργάσηται om. A 23 δὲ om. A 27 ἀνωνύμως F οὗτος] ἐκεῖνος F 30 ὁ ἀγαθὸς Θεὸς F

τιος, ἡ δὲ κακία καὶ πονηρία ἐναντία τῇ ἀγαθότητι καὶ διὰ τοῦτο ἀσύμβατος ταύτῃ καὶ διεστηκυῖα παντάπασιν, εἰκότως καὶ ὁ ταύτης ἐργάτης ἄγνωστος τῷ Θεῷ καὶ ἀνώνυμος.

«Εὐφόρησεν ἡ χώρα». οὐ τὴν γεωργίαν σκηπτὸς παρηνώχλησεν· οὐκ ἐμβολαὶ χαλάζης διέφθειραν καλάμην σίτου συντρίβουσαι καὶ τὸν στάχυν πατάσσουσαι καὶ κληματίδας ἀμπέλου μαστίζουσαι· οὐ βροῦχος, οὐκ ἐρυσίβη τοὺς καρποὺς ἐλυμήνατο· οὐκ ἄλλο οὐδὲν ἐξ οὐρανοῦ ἢ ἐκ γῆς ἐπελθὸν τοὺς ἐπὶ ταῖς γεωπονίαις ἱδρῶτας ἀχρείους ἀπέδειξεν, ἀλλὰ πάντα, Θεοῦ προστάξαντος, παρεσκεύασεν ἐπιτηδειότατα γῆς, ὄμβρων σύμμετρος φορά, ἀέρος κατάστασις εὔκρατος, ἡλίου θάλψις τὸ εὔκαρπον ἔχουσα, τἆλλα πάντα, οἷς τὰ γεώργια πληθύνεσθαι πέφυκε καὶ γεωργῶν εὐθηνίαν ἔχουσι κάματοι.

Καὶ τὰ μὲν παρὰ Θεοῦ τοιαῦτα· τὰ δὲ παρὰ τοῦ πλουσίου οἷα; ἤθους πικρότης· τρόπου σκληρότης· τὸ πρὸς τοὺς ἐνδεεῖς ἀκοινώνητον. ἔνθεν τοι καὶ τὰ νέα τοῖς παλαιοῖς ἀεὶ προστιθεὶς καὶ μὴ συμμεριστὰς τῶν περιττῶν τοὺς δεομένους ποιούμενος, εἰς τὴν ἀδιέξοδον ταύτην ἀμηχανίαν ἐνέπιπτε· «τὶ ποιήσω»; φεῦ τῆς ἀπληστίας! ἡ χώρα τριβόλους οὐκ ἤνεγκε καὶ οὗτος ἀκάνθας φροντίδων ἐβλάστησεν· ἐκείνη λαμπρὰ προσέφερε δράγματα καὶ οὗτος ἀνήνυτα διελογίζετο πράγματα· ἐκείνη εὐφόρει καὶ οὗτος ἠπόρει, λέγων· «τὶ ποιήσω»; τίς οὐκ ἂν ἐλεήσοι τὸν οὕτως ὑπὸ φροντίδων πολιορκούμενον καὶ λογισμοῖς ἀτόποις βαλλόμενον; δείλαιος τῆς εὐφορίας, ἐλεεινὸς τῶν παρόντων ἀγαθῶν, ἐλεεινότερος τῶν προσδοκωμένων. οὐ προσόδους αὐτῷ φέρει ἡ γῆ, ἀλλὰ στεναγμοὺς φύει· οὐ καρπῶν εὐπορίαν συνάγει, ἀλλὰ φροντίδας καὶ λύπας καὶ ἀμηχανίαν δεινήν· ὅμοια τῷ πένητι καὶ οὗτος ἀπολοφύρεται καὶ τοιαύτας ἀφίησι φωνάς, οἵας καὶ ὁ διὰ πενίαν στενοχωρούμενος· «τὶ ποιήσω»; οὐκ ἔχω πῶς τραφήσομαι καὶ πῶς ἐνδύσομαι· πῶς τὴν γυναῖκα καὶ τὰ φίλτατα διαθήσομαι. ὅρα οὖν τίνας οἱ πλούσιοι καρποῦνται τὰς ἡδονάς· λύπας ἑαυτοῖς ἐκ τῶν χρημάτων συνάγουσιν. ἀγαθῶν ὄντων πολλῶν μυρίαις φροντίσι συντήκονται καὶ ὑπ᾽

26—31 Θεοφ. Βουλγ. Migne P. G. 123,885C

5 ἐμβολὴ F 6 βροῦλος F 9—10 post προστάξαντος addit A ὥσπερ ἐκ συνθήματος εἰς ἓν συνελθόντα, τὴν εὐετηρίαν τῇ χώσᾳ πολλὰ τῆς γῆς A 10 ὄμβρος F 20 καὶ οὗτος ἀνήνυτα διελογίζετο πράγματα] καὶ οὗτος ἀνήνυτον διελογίζετο πραγμάτων A 25 εὐφορίαν AF in margine: εὐπορίαν A 29 διαθέσομαι F τινὰς F

ἀπορίας πολλῆς συνεχόμενοι, δυσφοροῦσι καὶ ἄχθονται. πόθεν οὖν τις ἕξει τὰς ἡδονάς, εἰ μὴ πλοῦτος δοῦναι ταύτας δυνήσεται, ὅς μᾶλλον εἰς ἀπορίας πολλὰς κατατείνει τὸν ἄνθρωπον; «τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου»; καλή γε ἡ τοῦ πλουσίου ἀνάπαυσις. εἴ γε καὶ ὁ πένης φησὶν «τί ποιήσω, ὅτι οὐκ ἔχω», τί τοίνυν πλείω συνάγομεν ἐκ τοῦ μὴ πλείω συνάγειν; ἀνάπαυσιν μὲν γὰρ οὐ κερδαίνομεν· καὶ δῆλον ἀπὸ τῶν φροντίδων· ἁμαρτιῶν δὲ ὅτι μόνον πλῆθος ἑαυτοῖς ἐπισωρεύομεν. ἀλλ'ὦ πλούσιε, ζητῶν καθ'ἑαυτὸν τὶ ποιήσεις, κακὸν παραλαμβάνεις τὸν σύμβουλον καὶ ἀλόγιστον. τί γὰρ ἑαυτῷ συμβούλῳ ἄφρονι κέχρησαι; δεῦρο δή μοι συμβούλους τοὺς προφήτας παράλαβε καὶ ἐρεῖ σοι ἔνθεν μὲν ὁ θεῖος Δαυΐδ· «μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα» καί, «χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν»· ἔνθεν δὲ ὁ θεσπέσιος Ἡσαΐας· «πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου». ζητεῖς ὅπου συνάξεις τοὺς καρπούς; ἐγώ σοι δείξω ἀσφαλεῖς ἀποθήκας· τὰς τῶν πενήτων γαστέρας φημί, πολλὰ δυναμένων χωρεῖν, καὶ ἀκαταλύτους καὶ ἀφθάρτους· οὐράνιαι γάρ εἰσι καὶ θεῖαι, εἴ περ ὁ τρέφων πένητα, Θεὸν τρέφει. οὐκ ἐγώ σοι τοῦτο λέγω, ἀλλ' ὁ προφήτης· «ἐσκόρπισε γάρ, φησίν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα». οἷον δὲ καὶ τὸ τοῦ ἄφρονος ῥῆμα· «ποῦ συνάξω τοὺς καρπούς μου»; ὢ τῆς ἀνοίας! οὐκ ἐνόμιζεν ἔχειν ταῦτα ἐκ Θεοῦ· οὐ γὰρ ὡς Θεοῦ οἰκονόμος περὶ ταῦτα διέκειτο, ἀλλ' οἰκείων πόνων ταῦτα γεννήματα ᾤετο. διὸ καὶ ἑαυτῷ ταῦτα σφετεριζόμενος, «τὰ γεννήματά μου καὶ τοὺς καρπούς μου καὶ τὰ ἀγαθά μου» ἔλεγεν· οὐδένα γάρ, φησίν, ἔχω κοινωνόν. Οὐκ ἀγνοῶ δὲ ὡς καὶ τὰ κατὰ τὸν πλούσιον τοῦτον, οὗπερ ἡ χώρα εὐφόρησε, τοῖς πρὸ ἡμῶν ἠλληγόρηται, πλὴν ἐπιπολαίως πως καὶ διὰ βραχέων τῆς ἀναγωγῆς ἐξελάβοντο. φέρε οὖν ἡμεῖς, ὡς οἷόν τε, ἐκτεῖναι τὴν ἀναγωγὴν πειρασώμεθα. εἰ δέ που καὶ κατά τι τὸν λόγον ἐκβιασώμεθα, θαυμαστὸν οὐδέν· οὐδὲ γὰρ πάντα ἀναγαγεῖν δυνατόν.

«Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα». πλούσιος μὲν

---

11 Ψαλμ. 40,1 **13** Ἡσ. 58,7 **17** Ψαλμ. 111,9. 2 Κορ. 9,9 **19-24** Θεοφ. Βουλγ. Migne P.G. 123,888A

1 ἄχθουσι F τις om. F 2 πλοῦτος ταύτας δοῦναι A 4 μου om. A 5 post οὐκ ἔχω addit A: καὶ ὁ πλούσιος «τί ποιήσω ὅτι οὐκ ἔχω» 7 μόνον πλῆθος om. A 9 ἄφρονι] καὶ ἄφρονι A 15 ἀκαταλύτως καὶ ἀφθάρτως A 20 ἔχειν ταῦτα om. A οὐ γάρ] ἢ γὰρ AF 22 αὐτῷ F 26 ἐξελάβωμεν F 27 καὶ om. F.

οὖν ὁ ἄνθρωπος οὐκ ἄλλος τις νοηθείη ἂν τοῖς τῆς ἀναγωγῆς τρόποις ἢ ὁ ἰουδαϊκὸς λαός· οὗτος γὰρ καὶ νόμον ἔλαβε παρὰ Θεοῦ τὸν γραπτὸν καὶ διδασκάλους πολλοὺς καὶ πόλιν ἁγίαν καὶ ὀχυρὰν εὐτύχησεν, ἀλλὰ καὶ χρῖσμα καὶ προφητείαν καὶ ἐπαγγελίαν. τί μοι λέγω ; καὶ βασιλείαν καὶ κράτος ἐθνῶν. τούτου εὐφόρησεν ἡ χώρα, τοὐτέστιν ἡ συναγωγὴ ἢ ἡ πόλις Σιών, ἡ ἁγία καλουμένη. εὐφόρησε δὲ πῶς; μεγάλους ἄνδρας ἔχουσα καὶ ἐκλεκτοὺς τῷ Θεῷ καὶ θεοφιλεῖς καὶ κατὰ καιροὺς τοιούτοις καρποῖς θάλλουσα· ἐννόει μοι Μωσέα, Ἀαρών, Ἰησοῦν τὸν τοῦ Ναυῆ, τοὺς Κριτάς, τὸν Δαυΐδ, τὸν Σαλομῶντα· ἁπλῶς τοὺς ἀγαθοὺς τῶν βασιλέων, τοὺς προφήτας. ὅρα δὲ πῶς εἶπε «τινὸς» ἀορίστως καὶ οὐχὶ ἐξ ὀνόματος, ὅτι παρὰ τῷ Θεῷ ἤδη ἀπόβλητος ἦν ὁ ἰουδαϊκος λαὸς καὶ οὐχὶ ἄξιος μνημονεύεσθαι. οὗτος οὖν ὁ μωρὸς λαὸς καὶ ἀνόητος, ἐπεὶ βαρύς τις ἐδόκει καὶ φορτικὸς αὐτῷ πᾶς προφήτης ἐλέγχων, παιδεύων, νουθετῶν, «διελογίζετο ἐν ἑαυτῷ», τοὐτέστιν οὐκ ἐδέχετο τὰς συμβουλὰς τῶν θεαρέστων ἐκείνων ἀνδρῶν· οὐκ ἐπείθετο τοῖς λόγοις τῶν προφητῶν, οὐδὲ τῆς σοφῆς ἐκείνης παραινέσεως ἤκουε, λεγούσης· «ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε», ἀλλὰ μᾶλλον ἐβουλεύοντο τοὺς προφήτας ἀνελεῖν, λέγοντες· «ἀνέλωμεν τὸν δίκαιον, ὅτι δύσχρηστός ἐστιν». οὗτοι γὰρ ἦσαν οἱ κωλύοντες αὐτὸν χρῆσθαι ταῖς καθ' ἡδονὴν αὐτοῦ πράξεσιν· οὗτοι ἀπέτρεπον συνάγειν τοὺς καρποὺς αὐτῶν καὶ ἀποτιθέναι καὶ συγκλείειν ἑαυτοῖς μόνοις τὰ γεννήματα τῆς γῆς, πῇ μὲν λέγοντες «ὁ τιμιουλκῶν σῖτον δημοκατάρατος», πῇ δὲ «οὐαὶ οἱ λέγοντες πότε διελεύσεται ὁ μὴν καὶ ἐμπολήσομεν καὶ τὰ Σάββατα καὶ ἀνοίξομεν θησαυρούς». οὗτοι οὖν, μὴ δυνάμενοι χρῆσθαι τῷ σκοπῷ αὐτῶν ἀκωλύτως καὶ πλεονεκτεῖν καὶ τοὺς πένητας ἀδικεῖν καὶ συνάγειν πάντα εἰς τὴν ἑαυτῶν σαγήνην, ἐβουλεύοντο τὰς ἀποθήκας καθελεῖν, ἃς εἶχον· τῷ ὄντι γὰρ ἀποθῆκαι θείων ῥημάτων καὶ πράξεων ἀγαθῶν ἦσαν οἱ προφῆται. ἐρεῖς δὲ τάχα καρποὺς καὶ τὰς πράξεις αὐτῶν τὰς πονηράς· ὁ μὲν γὰρ πονηρὸς λογισμὸς καὶ ἡ κακίστη ἐνθύ-

---

17 Παροιμ. 7,8 Ἡσ. 3,10 22 Παροιμ. 11,26. Πρβλ. Λεξ. «Ἡ Σούδα» [Περὶ τοῦ ὀρθοῦ τίτλου ὅρα Fr. Dölger, Der Titel des sog. Suidaslexikons. München 1936. Sitzungsberichte d. Bayer. Ak. d. Wiss. Philos.—histor. Abt. Jahrg. 1936, Heft 6] ἐν λέξει «τιμιουλκῶν» ἔκδ. Ada Adler IV, 556 Ἀμμὼς 8,5.

1 τοῖς τοῖς ἀναγωγοῖς AF 2 ὁ ἰουδαϊκὸς] ἰουδαϊκὸς F 6 ἡ ἁγία] ἢ ἁγία A 18 ἀναιλεῖν F 19 αὐτοὺς F 21 ἀποτιθῆναι A 23 ἐμπολήσομεν om. A 24 καὶ ἀνοίξομεν] ἀνοίξομεν F.

μησις, σπόρῳ τινὶ ἐοίκασι. τὰ δὲ ἔργα καὶ τὰ τούτων ἀποτελέσματα, καρποῖς. σκόπει δὲ ὅτι καλῶς εἴρηται «τοὺς καρπούς μου»· τῷ ὄντι γὰρ τὰ πονηρὰ καὶ ἀποτρόπαια ἔργα, καρποί εἰσι τῶν ποιούντων αὐτά· τὰ δὲ ἀγαθά, καρποὶ Θεοῦ, ὅτι καὶ ἐκ Θεοῦ τὰς ἀφορμὰς ἔχουσιν. ἀλλ' ἴδωμεν καὶ τὰ ἑξῆς καὶ τῶν διανοημάτων τοῦ πλουσίου καταγνωσόμεθα.

»Καὶ εἶπε· τοῦτο ποιήσω· καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας »οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου καὶ τὰ ἀγα- »θά μου.

Ἀπορῶ τί πρότερον κατηγορήσω τοῦ ἀνθρώπου τούτου. πότερον, τὸ ἀκοινώνητον καὶ ἀμετάδοτον, ἢ τὸ ἀνόητον ἢ τὸ ἄπληστον καὶ ἀκόρεστον ; πᾶσι γὰρ τοῖς τοιούτοις κατέχεται πάθεσιν. ὄντως ἡ φιλαργυρία μάταιόν τι πρᾶγμα καὶ ἀσυλλόγιστον πέφυκε. «καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω». καλὴ ἡ συμβουλή, ἀξία σοι τοῦ φρονήματος. ἐὰν δὲ πλέον εἰς τὸ μέλλον εὐφορήσῃ ἡ χώρα καὶ πάλιν καθαιρήσεις καὶ πάλιν οἰκοδομήσεις. καὶ πότε παυθῇς τῆς οἰκοδομίας, ἄνθρωπε ; ἀλλ' ὄντως καλῶς ποιεῖς καθαιρῶν τὰ καθαιρέσεως ἄξια καὶ τὰς ἀποθήκας σου καταβάλλων εἰς ἔδαφος, ὥσπερ ἐπεισελθών τις πολέμιος. ἀλλὰ «μείζονας οἰκοδομήσω», φησίν. ἄδηλον εἰ μὴ καθῃρημένας παραδώσεις τοῖς μετὰ σέ. τί οἶδας ἐάν, ἐν ὅσῳ οἰκοδομεῖς σύ, ἐπελθὼν ὁ θάνατος, κενὰς τὰς ἐλπίδας ἐλέγξειε ; «καὶ συνάξω ἐκεῖ πάντα». ὢ τῆς ἀπηνείας καὶ τῆς ὠμότητος ! ταῖς χρείαις τῶν πτωχῶν ἐπιτίθεται. ἀναμένει σιτοδείαν, ἵν' ἀνοίξῃ σιτοδοχεῖα. τίνος γὰρ ἕνεκε καὶ ζητεῖ καθαιρεῖν καὶ οἰκοδομεῖν καὶ εὐρυτέρας ἀποθήκας ποιεῖν, ἢ πάντως διὰ προσθήκην χρυσοῦ ; λιμὸν γενέσθαι ἐκδέχεται καὶ δι' εὐπορίαν ἰδίαν κοινὴν ἰδεῖν ἐπείγεται ἔνδειαν. ἀλλ' ὦ μιαρώτατε, ἄκουε τῆς Γραφῆς, λεγούσης· «ὁ τιμιουλκῶν σῖτον, δημοκατάρατος». ὥστε οὐκ ἐχρῆν σε συμφορῶν ἀνθρωπίνων κάπηλον γίνεσθαι, οὐδὲ τὴν ὀργὴν τοῦ Θεοῦ ποιεῖν περιουσίας χρημάτων ὑπόθεσιν. «τὰ γεννή-

---

13-15 Θεοφ. Βουλγ. Migne, P. G. 123, 885D 27 Παροιμ. 11,26

1 τὰ τούτων] τούτων F 2 σκόπει δὲ om. A 3 τὰ πονηρὰ] πονηρὰ F 5 ἀλλ' ἴδωμεν] ἀλλὰ γὰρ ἴδωμεν A 13 τι om. F 15 δὲ om. F 16 καὶ πάλιν] πάλιν F 16 οἰκοδομίας] οἰκοδομῆς A] οἰκονομίας F 18 ἐπεισελθόντες F 20 οἰκοδομεῖς σὺ] οἰκοδομεῖς, φησιν F 22 ταῖς χρείαις] καὶ ταῖς χρείαις A 24 ζητεῖν A 26 ἰδεῖν om. F 28 γενέσθαι F.

ματά μου καὶ τὰ ἀγαθά μου». οὐδένα, φησίν, ἔχω κοινωνόν· οὐδένα μεριστὴν ποιοῦμαι· οὐ τοῦ Θεοῦ εἰσιν, ἀλλ᾽ ἐμά. μόνος οὖν ἀπολαύσω τῶν προσόντων μοι. τὸν Θεὸν κοινωνὸν οὐ προσλήψομαι εἰς τὴν τούτων ἀπόλαυσιν· ἀλλ᾽ οὐδὲ ὁ περὶ τῶν ἀγαθῶν καὶ κακῶν λόγος τούτῳ τετράνωται· ἀγαθὰ γὰρ νομίζει τὰ ἀδιάφορα· τῶν γὰρ πραγμάτων τὰ μέν ἐστι καλά, τὰ δὲ κακά, τὰ δὲ μέσα, ὧν ἔνια πολλοῖς μὲν εἶναι δοκεῖ κακά, οὐκ ἔστι δέ, ἀλλὰ λέγεται μόνον καὶ ὑποπτεύεται. ἀλλ᾽ ἵνα σαφέστερον ὃ λέγω ποιήσωμαι, καὶ ἐπὶ παραδειγμάτων τὸν λόγον γυμνάσωμεν. ἡ πενία δοκεῖ μὲν πολλοῖς εἶναι κακόν, οὐκ ἔστι δέ· ἀλλ᾽ εἴ τις νήφει καὶ φιλοσοφεῖ, κακῶν ἀναιρετικόν. ὁ πλοῦτος πάλιν δοκεῖ μὲν πολλοῖς εἶναι καλόν, οὐκ ἔστι δὲ ἁπλῶς καλόν, εἰ μή τις εἰς δέον αὐτῷ χρώμενός ἐστιν· εἰ γὰρ ἁπλῶς καλὸς ἦν ὁ πλοῦτος, ἔδει καὶ τοὺς ἔχοντας αὐτὸν εἶναι καλούς. εἰ δὲ οὐ πάντες οἱ πλουτοῦντες ἐνάρετοι, ἀλλ᾽ οἱ καλῶς τῷ πλούτῳ κεχρημένοι, εὔδηλον ὅτι οὐκ αὐτὸς καθ᾽ ἑαυτὸν ὁ πλοῦτος καλόν, ἀλλ᾽ ὕλη τίς ἐστιν ἀρετῆς ἐν τῷ μέσῳ κειμένη. πάλιν, εἰ ἡ πενία κακὸν ἦν, ἔδει πάντας τοὺς ἐν πενίᾳ εἶναι κακούς. εἰ δὲ πολλοὶ τῶν ἐν πενίᾳ ὄντων τῶν ἐπουρανίων ἐπελάβοντο, οὐκ ἄρα ἡ πενία κακόν. εἴωθε δὲ καὶ ἡ Γραφὴ οὐ μόνον τὰ ὄντως κακὰ ὀνομάζειν, ἀλλὰ καὶ τὰ κατὰ τὴν πολλῶν ὑπόνοιαν κακὰ καλούμενα, ὡς ὅταν λέγῃ ὁ Θεὸς διὰ τῶν προφητῶν· «ἐγὼ ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά». οὐ περὶ πονηρίας τοῦτο λέγει, ἀλλὰ περὶ συμφορῶν. καὶ πάλιν· «οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε», κἀνταῦθα κακίαν τὰς νόσους τὰς θεηλάτους προσαγορεύων πληγάς. καὶ ἀγαθὰ δὲ πάλιν οὐ μόνον τὰ κυρίως, ἀλλὰ καὶ τὰ ἀδιάφορα οἶδε καλεῖν, ὡς ὅταν λέγῃ· «ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε»· οὕτω γάρ τοὺς καρποὺς τῆς γῆς ὠνόμασε, ὥσπερ οὖν καὶ νῦν ὁ πλούσιος· «συνάξω ἐκεῖ τὰ ἀγαθά μου».

Κατὰ δὲ τὴν ἀναγωγὴν ἔλεγε, φησίν, ὁ ἰουδαϊκὸς λαός· «τί ποιήσομεν»; ἕως ἂν ὦσιν οἱ ἐλέγχοντες ἡμᾶς, οὐ δυνάμεθα πράττειν ἃ θέλομεν καὶ εἰς φῶς ἐξάγειν τὰ ἑαυτῶν ἐνθυμήματα, ἀλλ᾽ἐὰν ἀνέλωμεν τοὺς προφήτας (τοῦτο γάρ ἐστι τό, «καθελῶ μου τὰς ἀποθήκας»),

1-3 Θεοφ. Βουλγ. Migne, P. G. 123, 885D καὶ 888A 20 Ἡσ. 45,7 Ἀμμὼς 3,6 25 Ἡσ. 1,19.

2 μερίτην F 3 μοι om. A 8 γυμνάσωμεν om. F 11 πολλοῖς om. F 16 ἢ ἡ πενία κακὴ ἦν F post κακὸν addit A: εἰ 17 οὐρανίων A 17 post ἄρα addit A: ἔσται 19 καλούμενα] τελούμενα F 21 λέγων F 24 διάφορα A εἶδε F.

τὰς ἑαυτῶν βουλὰς στήσομεν καὶ ποιήσομεν τὰ πρὸς εὐφροσύνην ἡμῖν. τί δ'ἐστι τὸ «μείζονας οἰκοδομήσω»; τοῦτο ἐκ τούτου δηλοῦται, τοῦ ἀεὶ καὶ καθ'ἡμέραν προβαίνειν τοῖς φαύλοις αὐτοὺς ἐνθυμήμασι καὶ μηδέποτε ἵστασθαι τὰ πονηρὰ διαλογιζομένους, ἀλλὰ προκόπτειν ἐπὶ τὸ χεῖρον. ὅρα δὲ πῶς εἴρηται τὸ «καθελῶ μου τὰς ἀποθήκας»· οὐ γὰρ εἶπεν ἁπλῶς «ἀποθήκας», ἀλλ' ἀποθήκας «μου». καλῶς καὶ τοῦτο· αὐτῶν γὰρ ἦσαν οἱ πατέρες καὶ οἱ προφῆται. ἐκεῖναι μὲν οὖν αἱ ἀποθῆκαι παρὰ Θεοῦ ἦσαν αὐτοῖς, ὁ δὲ ἄφρων λαός ταύτας μὲν ἐβούλετο καθελεῖν, ἑτέρας δέ, ὥς γε ἐδόκει αὐτῷ, μείζονας οἰκοδομεῖν, τοὺς τὰ καθ' ἡδονὴν αὐτῷ λέγοντας ψευδοπροφήτας καὶ ψευδοδιδασκάλους, οἳ ἐχαρίζοντο τῷ λαῷ πολλὰ καὶ τὰ καταθύμια σφίσιν ἔλεγον κολακεύοντες. τάχα δ' ἐρεῖς καθελεῖν αὐτοὺς καὶ τῶν θείων θυσιαστηρίων πολλὰ καὶ ὕστερα οἰκοδομεῖν τοῖς βουνοῖς καὶ τοῖς ἄλσεσι. «μείζονας» δὲ λέγει οἰκοδομεῖν, ὅτι λίαν κεκαλλωπισμένα καὶ ὡραῖα πρὸς θέαν τῶν δαιμόνων τεμένη οἰκοδομεῖν ἐπετήδευον.

«Συνάξω οὖν», φησίν, «ἐκεῖ, πάντα τὰ γεννήματά μου καὶ τὰ ἀγαθά μου». εἰ μὲν ἐρεῖς ἀναγωγικῶς τὰ τῶν δαιμόνων θυσιαστήρια εἶναι, ἃς εἶπε μείζονας οἰκοδομεῖν ἀποθήκας, νοήσεις καὶ γεννήματα καὶ ἀγαθά, ἃ εἶπεν ἐκεῖ συνάξαι αὐτός, τὰς ἀπαρχὰς τῶν γεννημάτων καὶ τὰς θυσίας, ἃς τοῖς δαιμονίοις προσέφερον. εἰ δὲ λέγει τις, ἀποθήκας μὲν οὔσας, εἶναι τοὺς προφήτας, ἑτέρας δὲ μείζονας οἰκοδομηθησομένας, οὐκ οἰκοδομηθείσας δέ, τοὺς παρ' αὐτοῖς ψευδοπροφήτας, περὶ ὧν ὁ Σωτὴρ λέγει· «πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον, κλέπται εἰσὶ καὶ λησταί», ἐκλάβοις ἂν οὕτως τὸ «συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου καὶ τὰ ἀγαθά μου», ἀντὶ τοῦ πάντα τὰ καθ' ἑαυτὸν ἐπιτρέψω τοῖς τοιούτοις διδασκάλοις μου τοῖς ἐμοὶ χαριζομένοις καὶ ὅσα μοι καταθύμια λέγουσι. τῷ ὄντι γὰρ καὶ χρήματα καὶ κτήματα—τί μὴ λέγω; καὶ ψυχὰς τοῖς ψευδοδιδασκάλοις ἑαυτῶν οἱ ἀνόητοι ἐνεχείριζον καὶ τοῖς τοιούτοις τὰ καθ' ἑαυτοὺς ἐπέτρεπον. οὐ μόνον δὲ τὰ προτεθέντα τοῦ πλουσίου ἀνόητα, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα ἀνοητότερα.

»Καὶ ἐρῶ τῇ ψυχῇ μου· ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη »πολλά· ἀναπαύου, φάγε, πίε, εὐφραίνου.

23 Ἰωάνν. 10,8.

9 ὥς γε] ὥστε F 10 αὐτῷ om. F 13 in margine: ὅρα Ἰωσὴφ Κύριε ἐλέησον οἰκοδομῆσαι F 15 τῶν δαιμόνων] τὰ τῶν δαιμόνων A 17 αἱρεῖς F 21 οἰκοδομησομένας A 24 ἐκλάβοις om. F 28 διδασκάλοις om. A.

Ὦ τῆς ἀλογίας! τῇ ἀνοίᾳ προστίθησιν ἄνοιαν· οὐ μόνον γὰρ οὐχ ὁρᾷ πρὸς τὸ μέλλον, οὐδ' ἀναβλέπει πρὸς τὸν Θεόν, οὐδ' ἐρᾷ φιλοπτωχείας καὶ τῶν ἐντεῦθεν αὐχημάτων ἐφίεται, ἀλλὰ καὶ τὸ ἔτι τούτου παραλογώτερον, μῆκος ἑαυτῷ ὁρίζει ζωῆς, ὥσπερ καὶ τοῦτο ἐκ γῆς γεωργήσας. ἀλλ' ὦ πλούσιε, φαίη τις ἂν πρὸς αὐτόν· τοὺς μὲν καρποὺς ἔχεις ἐν ἀποθήκαις· ἔτη δὲ πολλὰ πόθεν ἂν λάβοις; μή καὶ τοῦτο γέννημα σόν; μή καὶ τοῦτο ἀγαθὸν σόν; μή καὶ τὰ ἔτη ἐθέρισας; μή καὶ τὴν ζωὴν ὡς ἄλλον τινὰ συνῆξας καρπόν; οὐ παρὰ σοὶ ὁ ὅρος τῆς ζωῆς, ἄνθρωπε. οὐ τῆς σῆς ἐξουσίας τῆς ζωῆς ἡ παράτασις. εἰ δὲ καὶ τοῦτό σοι γενήσεται, ὡς καλή σοι ἡ ἀπόλαυσις. ἀλλ'οὕτως τοιοῦτον ὁ πλοῦτος τυφλὸν καὶ ἀνόητον. οὐ προορᾷ τὰ μέλλοντα· οὐ προνοεῖται τῶν συμφερόντων· οὐ τῶν λυσιτελῶν ἐπιστρέφεται. διὰ τοῦτό φησιν «ἐρῶ τῇ ψυχῇ μου· ψυχὴ ἔχεις πολλὰ ἀγαθά». οὕτως ἀφρόνως ἀγαθὰ ταῦτα νομίζεις μόνα, ὦ πλούσιε, τὰ τοῦ παρόντος βίου τερπνά; καὶ διὰ τοῦτο οὐδὲν ἄλλο τί ποτε ζητήσεις παρὰ τὴν τρυφὴν καὶ τὰ χρήματα; «ἀναπαύου, φάγε, πίε, εὐφραίνου». εἰ δὲ καὶ χοιρείαν εἶχες ψυχήν, τί ἂν ἄλλο ἢ τοῦτο αὐτῇ ἔλεγες; οὕτω κτηνώδης εἶ; οὕτω τῶν τῆς ψυχῆς ἀγαθῶν ἀσύνετος, τοῖς τῆς σαρκὸς αὐτὴν βρώμασιν δεξιούμενος καὶ ὅσα τῆς ἀλόγου ζωῆς ταῦτα τῇ ψυχῇ παραπέμπεις; τὸ γὰρ φαγεῖν καὶ πιεῖν, ἀλόγου ψυχῆς ἀγαθόν. τοιαύτην οὖν καὶ σὺ ταῖς ἐμπαθείαις τὴν σεαυτοῦ ἀπολέσας ψυχήν, εἰκότως αὐτῇ ταῦτα προσανατίθης. λογικῆς δὲ ψυχῆς ἀγαθὸν νοῆσαι, λογίσασθαι, εὐφρανθῆναι νόμοις Θεοῦ καὶ διανοήμασιν ἀγαθοῖς. πῶς δὲ καὶ τὸ «ἀναπαύου» ἑαυτῷ προσφωνεῖς; ποία ἀνάπαυσις, εἰπέ μοι, τὸ φροντίσι καὶ μερίμναις ἑαυτὸν κατατήκειν; τὸ δὲ καὶ τρυφαῖς καὶ κώμοις ἑαυτὸν ἐκδιδόναι, οὐ κόλασις ἄντικρυς; ἐντεῦθεν γὰρ αἱ καρηβαρίαι καὶ τὰ μυρία νοσήματα τίκτονται. οὐκ ἀρκεῖ δέ σοι τὸ φαγεῖν καὶ πιεῖν, ὦ ἄφρον, ἀλλὰ καὶ τὴν ἐπακολουθοῦσαν τούτοις αἰσχίστην καὶ μυσαρὰν ἡδονὴν ἐπιτάττεις τῇ ψυχῇ; εὐφήμως γὰρ ὁ Κύριος διὰ τοῦ «εὐφραίνου», τὰ ἀσελγέστατα πάθη ἐδήλωσεν, ἃ τῇ πλησμονῇ τῶν

5-10 Θεοφ. Βουλγ. Migne P. G. 123, 388A 18-20 Θεοφ. Βουλγ. ἔνθ' ἀν. 123,888.

2 ἀναβλέπει] ἀναμένει A 4 ζωῆς om. F 8 τινὰ] τι F 10 σου F ἀλλ' ὄντος A 14 τὰ παρὰ τοῦ βίου F 19 αὐτοῖς βρώμασι F 26 οὐ κόλασις ἄντρικρυς om. A ἐντεῦθεν] ἐν τίνι A 27 μυρίων A 28 ἀλλὰ καὶ] ἀλλὰ AF 30 ἀσελγήματα F

βρωμάτων καὶ πωμάτων παρέπεται· ἀκόλουθα γὰρ τῷ κόρῳ τὰ ἀφροδίσια. «εὐφραίνου»· οὕτω ψυχὴ εὐφραίνεται, πλούσιε, ἀνθρώπου νοῦν ἔχοντος; οὕτως ἡδονὴν καρποῦται ἀνόητε; εὐφροσύνη ψυχῆς, θεωρία τῶν ὄντων, ἢ ἀρεταῖς κοσμεῖται ἢ πλήρης ἐστὶν ἔργων ἀγαθῶν ἢ Θεῷ προσῳκείωται. εἰ οὕτως εἶχεν ἡ σὴ ψυχή, εἶχεν ἂν πολλὰ ἀγαθά. νῦν δέ, ἐπεὶ σάρκινος εἶ, τὴν τῶν φθειρομένων ἀπόλαυσιν εὐφροσύνην ἡγεῖ καὶ Θεὸν τὴν κοιλίαν κέκτησαι· οἱ γὰρ ταῖς σωματικαῖς τρυφαῖς τε καὶ ἡδοναῖς ἑαυτοὺς ἐκδιδόντες, εἰκότως τὴν κοιλίαν Θεὸν ἔχουσι, «φάγωμεν καὶ πίωμεν» λέγοντες, «αὔριον ἀποθνήσκομεν». δι᾽ ὃ μᾶλλον ἐχρῆν τῆς τρυφῆς καταφρονεῖν, διὰ τοῦτο ταύτης ἀντέχονται. ἀνθ᾽ ὧν ἔδει λέγειν, ἐπεὶ αὔριον ἀποθνήσκομεν, μὴ φάγωμεν μηδὲ πίωμεν. τί λέγεις, ἄνθρωπε; οὐ ζῇς, ἵνα ἐσθίῃς, ἀλλ᾽ ἐσθίεις, ἵνα ζῇς.

᾽Αλλ᾽ οἱ μὲν πλουτοῦντες καὶ τῷ ἔρωτι τῶν χρημάτων μεθύοντες, οὐ συνιοῦσιν. ὑμεῖς δὲ γνῶτε ὅτι καὶ ἡ κατὰ τὴν τοῦ μάννα βροχὴν ἱστορία τοῦτο ἡμῖν ὑποτίθησιν. ἐκεῖ γάρ, εἴ τις ἐν πάσαις ταῖς ἄλλαις ἡμέραις πλέον τοῦ ἀρκοῦντος συνέλεξε, κατεσήπετο καὶ σκώληκας ἔτικτεν· εἰ δέ τις ἐν τῇ Παρασκευῇ καὶ τὴν τοῦ Σαββάτου συνῆγε τροφήν, φθορὰν τὸ φυλαττόμενον οὐκ ἐδέχετο. τοῦτο γοῦν ἐκ τῶν ποτε γινομένων μανθάνομεν, ὅτι πᾶν τὸ ἔξω τῆς χρείας τοῖς πλεονέκταις ἀποτιθέμενον ἐν τῇ ἑξῆς ἡμέρᾳ, τουτέστιν ἐν τῷ προσδοκωμένῳ βίῳ, σκώληξ τῷ ταμιεύσαντι γίνεται. νοεῖς δὲ πάντως ἀκούων διὰ τοῦ σκώληκος τούτου τὸν ἀτελεύτητον σκώληκα, τὸν ἐκ τῆς πλεονεξίας ζωογονούμενον· τὸ δ᾽ ἐν νόμῳ τῷ Σαββάτῳ διαρκεῖν, τὸ ἀπόθετον. τοιαύτην τινὰ τὴν συμβουλὴν ἡμῖν ὑποτίθησιν, ὅτι χρηστέον ἐστὶ τῇ πλεονεκτικῇ προαιρέσει, ἐν οἷς τὸ συναγόμενον διαφθορὰν οὐ προσίεται. οἷόν τι λέγω; Παρασκευή ἐστιν οὗτος ὁ βίος, ὅτι ἐν αὐτῷ τὰ πρὸς τὸν μέλλοντα αἰῶνα ἐφόδια ἑαυτοῖς παρασκευαζόμεθα. Σάββατον δὲ ὁ αἰὼν ἐκεῖνος, ἐν ᾧ οὐδὲν ἔργον τῶν πραττομένων ἡμῖν ἐργαζόμεθα· οὐ γὰρ γεωργίαν, οὐκ ἐμπορίαν, οὐκ ἄλλο τι τῶν ὧδε σπουδαζομένων οὐδέν, ἀλλ᾽ ἐν ἀπραξίᾳ πάσῃ τῶν τοιούτων ἔργων διάγοντες, τῶν νῦν ἡμῖν παρὰ τὸν βίον καταβεβλημένων σπερμάτων τοὺς καρποὺς κομιζόμεθα.

---

14 Ἔξοδ. 16,20

1 ἀκόλουθα] ἀκολουθεῖ A τῷ κόρῳ] ἡδονὴ AF 7 ἡγεῖ] ἡ γῆ F τροφαῖς F 18 ποτε] τότε A 19 ὅτι] ὅτε A 23 δέ om. A 25 προσίεται] πρίεται F 29 γεώργιον F γεωργίαν, οὐκ ἐμπορίαν] γεωργία, οὐκ ἐμπορία, οὐ στρατία A.

σωτηριώδεις μέν, εἴ περ ἀγαθὰ εἴη τὰ σπέρματα· ὀλεθρίους δέ, εἰ τοιαῦτα ἡ γεωργία τῆς ζωῆς ταύτης ἐκφύει· «ὁ γὰρ σπείρων», φησίν, «εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. ὁ δὲ σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν»· καὶ ἅπερ ἐνταῦθα συλλέξομεν ὡς ἐν Παρασκευῇ, ταῦτα ἐκεῖσε σαββατίσαντες, εὑρήσομεν καὶ τραφησόμεθα. ἐπεὶ δὲ τῆς περὶ τοῦ μάννα ἱστορίας ἐμνήσθημεν, φέρε ζητήσωμεν τί δήποτε τὴν ὀρτυγομήτραν ἑσπέρας, ἅμα δὲ τῇ ἕῳ τὸ μάννα καθίησι· πλαγίως γὰρ ἡμῖν ὑπαινίττεται ὅτι μή ἐστιν ἐν φωτὶ νοητῷ ὁ τῶν γηίνων ἐραστής. ἃ δὲ τῆς ὀρτυγομήτρας σημαίνεται, ἣν ὀρέγει ἐπιζητοῦσι Θεός, οὐχ ἕλκων μὲν αὐτὸς εἰς ἐπιθυμίαν, οὔπω δὲ διδοὺς τὸ καταneανιεύεσθαι τῶν παθῶν. τὸ δὲ μάννα, σκιὰ τῶν διὰ τοῦ Χριστοῦ παιδευμάτων καὶ χαρισμάτων καθέστηκεν, ἃ καὶ ἄνωθέν ἐστιν ἐξ οὐρανοῦ καὶ τὸ γεῶδες οὐκ ἔχει. ἀμοιρεῖ δὲ μᾶλλον καὶ βδελυρίας σαρκικῆς καὶ ὄντως τροφὴ πνευμάτων ἐστὶν ἡ ἐν τούτοις ὀρθὴ καὶ ἀκίβδηλος γεῦσις, ἧς ἡ χορηγία ὡς ἐν φωτὶ καὶ ἡμέρᾳ γίνεται, ἀνίσχοντος ἐν ἡμῖν τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ, ὃς ἀποστρέφει ἡμᾶς εἰς ζωὴν ἀκήρατον· ὁ γὰρ τὸ θεῖον μάννα κατεδηδοκώς, ἀμείνων ἔσται φθορᾶς καὶ ὑπερβαλεῖται θάνατον. οὐ καθεζομένοις δὲ ἡμῖν ἔρχεται τὸ μάννα, ἀλλ' ἐρχομένοις ἔξω τῆς παρεμβολῆς, λέγω δὴ τοῦ σώματος, ἐν ᾧ ἐνεῖρκται ἡ ψυχή· δεῖ γὰρ τὴν ψυχὴν μηκέτι εἶναι σαρκί, ἀλλ' ἐν πνεύματι, ὅταν διαλαμβάνω περὶ Χριστοῦ, περὶ τῆς θεότητος αὐτοῦ, περὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ. ἄρτον ἀγγέλων ἐσθίων, τὸ μάννα, καθά φησιν ὁ Δαυΐδ, ὅπερ εὑρὼν καὶ θαυμάσας, θαυμαστικῶς ἐρεῖς· «μάννα, τί ἐστι τοῦτο; καὶ γενήσεται τὸ φθέγμα τῷ ἄρτῳ ὄνομα». ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν ἐπαναδράμωμεν.

»Εἶπε δὲ αὐτῷ ὁ Θεός· ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου »ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;

Πρέπουσα ὄντως καὶ ἡ προσηγορία τῷ πλουσίῳ ἐτέθη παρὰ Χριστοῦ. διὰ τοῦτο συνεχωρήθη πάντα βουλεύεσθαι καὶ φανερὰν αὐτοῦ ποιῆσαι τὴν γνώμην, ἵνα ἀξίαν τῆς προαιρέσεως δέξηται τὴν ἀπόφασιν. οὐχ ὡς τοῦ Θεοῦ ταῦτα πρὸς τὸν πλούσιον εἰπόντος, λέγεται τὸ «εἶπε δὲ αὐτῷ ὁ Θεός», ἀλλὰ τοιοῦτόν τι παριστᾷ, ὅτι ταῦτα διαλογιζομένου, ὁ

---

2 Γαλ. 6,7 24 Ψαλμ. 77,24 28-32 Θεοφ. Βουλγ. Migne P. G. 132, 888 B.

1 εἰ τοιαῦτα] οἱ τοιαῦτα F 2 ἐκφύει] ἐκφύσειεν A 5 εὑρησόμεθα F 6 περὶ om. F 7 τὴν] τὴν μὲν A 8 καθίστησι F 17 καταδιδωκώς AIF 18 ὑπερβαλεῖται] ὑπεραλεῖται A 24 ἄρτος A 28 καὶ om. A παρὰ Θεοῦ A 31 τοῦ Θεοῦ δὲ A 32 παριστᾶν A.

Θεὸς τὴν ἀφροσύνην τοῦ πλουσίου διελέγχων καὶ ματαίαν δεικνύς, εἶπεν, ἃ γέγραπται· πλάττεται γὰρ ταῦτα ἡ παραβολή. ἄφρων οὖν καὶ μάταιος πᾶς τοιοῦτος, καθὰ καὶ Δαυῒδ φησί· «μάταιος πᾶς ἄνθρωπος». καὶ ἡ αἰτία; θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. καὶ πάλιν· «ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται καὶ καταλήψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν». καὶ πῶς γὰρ οὐκ ἄφρων ὁ μὴ γνοὺς ὅτι ζωῆς ὅρος παρὰ μόνῳ τῷ Θεῷ καὶ οὐκ αὐτὸς ἑαυτῷ τῆς ζωῆς ὁριστής ἐστιν ἕκαστος; καὶ ὅτι «ἐλπὶς πλουσίου χνοῦς ὑπὸ ἀνέμου φερόμενος καὶ καπνὸς ὥσπερ διαλυθήσεται»; σκόπει δὲ καὶ τοῦτο· ὅτι τὸ μὲν μὴ παραμένειν πάντως τῷ κτησαμένῳ τὰ χρήματα παρέλιπεν ὁ Σωτήρ, μικρὸν ἔτι καὶ τοῦτο εἰδώς, τὸ ταύτης ἕνεκα τῆς αἰτίας παραινεῖν καταφρονεῖν τῶν χρημάτων, διότι μὴ μόνιμον τοῖς ἀνθρώποις ἐστίν. ἔρχεται δ᾽ ἐπὶ τὸ μεῖζον, ὡς ἂν εἰ ἔλεγεν ὅτι οὐδὲ εἰ τὸν ἅπαντα χρόνον διαμένει καὶ διαιωνίζει τὰ χρήματα, ἄξιόν τι σπουδῆς ἔχουσι. τί δήποτε; ὅτι οὐδὲ ὁ κτώμενος αὐτοῖς συμπαραμένει καὶ ἀθάνατος διατηρηθήσεται. διὰ τοῦτο οὐκ εἶπεν ὅτι, ἄφρον, τὰ χρήματα φθαρτά εἰσι καὶ ἐπίκηρα καὶ ἀβέβαια καὶ ἀπὸ τοῦδε εἰς τόνδε μεταβαίνοντα, ἀλλ᾽ ὅτι «ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ ~~ἀπὸ~~ σοῦ». ἰστέον δὲ ὅτι τὸ τοῦ ἄφρονος ὄνομα λαμβάνεται καὶ ἐπὶ τοῦ ἀντιδιαστελλομένου τῷ σοφῷ καὶ συνετῷ, ὡς ἔχει καὶ ἐν τῷ Ἐκκλησιαστῇ, ὅτι «οὐκ ἔστιν ἡ μνήμη τοῦ σοφοῦ μετὰ τοῦ ἄφρονος εἰς τὸν αἰῶνα». λέγεται καὶ ἐπὶ τοῦ ἀθέου, ὡς ἔχει τό, «εἶπεν ἄφρων ἐν τῇ καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός». ἐνταῦθα οὖν, ὡς ἂν βούλῃ τὸ ὄνομα ἔκλαβε· ἔστι γὰρ καὶ ματαιόφρων, ἔστι καὶ ἄθεος· εἰ γὰρ τοιαῦτα φθέγγεται, πῶς οὐκ ἀπρονόητα τὰ πάντα νομίζει; «ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ». ὡς φοβερὰ ἡ ἀπόφασις! παρὰ πόδας ἡ ἀπειλή· ἀνυπέρθετος ἡ ποινή. οὐκ εἶπε δὲ «ταύτῃ τῇ ἡμέρᾳ», ἀλλὰ «ταύτῃ τῇ νυκτί»· ἢ διὰ τὸ ἀοράτως καὶ ἀνελπίστως καὶ αἰφνιδίως καταλαμβάνειν τὸν θάνατον, ὡς τό, «μέσης δὲ νυκτὸς οὔσης, κραυγὴ γέγονεν», ἢ διὰ τὸ συγκεχυμένον τῶν φρενῶν καὶ σκοτεινὸν καὶ τὴν τοῦ καλοῦ ἄγνοιαν· οὐ γὰρ εἶχε φῶς θείας ἐπιγνώσεως ἐπιλάμπον αὐτῷ. τάχα δὲ καὶ τὴν ἐκ τῆς τρυφῆς εὐφροσύνην τῆς ἁμαρτίας νύκτα

1-9 Θεοφ. Βουλγ. Migne, P. G. 132, 888B 3-4 Ψαλμ. 38, 6–7 21 Ψαλμ. 13,1 29 Ματθ. 25,6.

3 μάταιος] μάτην F 7 τῷ Θεῷ] Θεῷ A 13 ὡσανεὶ F 17 ἀπὸ τοῦδε] ἀπὸ ποῦ εἶδε F εἰς τούς δε A 25 ἀπρονόητα] ἀπρόητα A 28 αἰφνίδιον F 32 τρυφῆς] τροφῆς F.

εἰπών, οὐκ ἂν ἁμάρτοις τοῦ δέοντος, ὥς τό, «καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου». ὃ δὲ λέγει, τοιοῦτόν τι ἐστίν· ἡμάρτανον καὶ νὺξ ἦν περὶ ἐμὲ τὸν δείλαιον, ἐγὼ δὲ ἠγνόουν· φωτισμὸν γὰρ εἶναι τὴν τρυφὴν ὑπελάμβανον. οὐκ εἶπε δὲ «ἀπαιτῶ», ἀλλ᾽ «ἀπαιτοῦσι»· τῶν γὰρ ἁμαρτωλῶν τὰς ψυχὰς ἄγγελοί τινες πικροὶ καὶ φοβεροὶ καὶ μετ᾽ ἀποτομίας λαμβάνουσιν· αἱ δὲ τῶν δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ. καὶ αὐτὴν δὲ τὴν λέξιν ὅρα πῶς ἐστιν ἐμφαντικὴ τοῦ μετὰ βίας τὰς τῶν ἁμαρτωλῶν ψυχὰς ἀποσπᾶσθαι τοῦ σώματος· ὥσπερ γάρ τινες ἀπηνεῖς φορολόγοι, φοβεροὶ δὲ ἄγγελοι τὰς τοιαύτας ἀπαιτοῦσι ψυχάς. ὁ μὲν γὰρ δίκαιος, οὐκ ἀπαιτεῖται τὴν ψυχήν, ἀλλὰ παρατίθεται ταύτην τῷ Θεῷ καὶ πατρὶ τῶν πνευμάτων, χαίρων καὶ ἀγαλλόμενος, οὐδὲ δυσφορεῖ περὶ τὴν ἀπόθεσιν· ἐλαφρὸν γὰρ τὸ σῶμα περίκειται. ὁ δέ γε ἁμαρτωλός, κατασαρκώσας τὴν ψυχὴν καὶ πρὸς τὸ σῶμα ποιώσας αὐτήν, δυσαποσπάστως ἔχειν αὐτὴν παρεσκεύασε. διὸ καὶ «ἀπαιτεῖσθαι» ταύτην λέγει, ὥσπερ τις χρεώστης ἀπειθής, πράκτορσι ἀπηνέσι παραδιδόμενος. καὶ τὸ «ἀπὸ σοῦ» δέ, τάχα τοιοῦτόν τι ἐστίν· ἐπειδὴ σὰρξ ὁ λόγος ἐγένου καὶ οὐδέποτε περὶ τῆς σωτηρίας τῆς ψυχῆς ἐμερίμνησας, λαμβάνουσι τὴν ψυχὴν ἀπὸ σοῦ ἀπαραίτητοι ἄγγελοι. οἷόν τι λέγω· ὁ ἄνθρωπος τὰ κάτω ζητῶν καὶ τὰ ἐν τῇ γῇ ποθῶν, σὰρξ λέγεται, ὥς τό, «οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, ὅτι εἰσί σάρκες». ζητῶν δὲ ἄνω καὶ τῶν οὐρανίων μόνον ἐχόμενος, νοῦς ἐστιν ὅλος καὶ πνεῦμα καὶ οὐκ ἔστιν ἔτι δύο, ἀλλ᾽ ἕν. «ἃ δὲ ἡτοίμασας τίνι ἔσται»; ἐπειδὴ πολλάκις, ἃ θησαυρίζουσί τινες, οὐ παῖδες αὐτῶν κληρονομοῦσιν, οὐ φίλοι, οὐ συγγενεῖς, ἀλλὰ ξένοι καὶ πάντη ἀλλότριοι—καὶ τί λέγω ξένοι; ἐχθροὶ μὲν οὖν καὶ φονεῖς καὶ ἐπίβουλοι· διὰ τοῦτο λέγει «τίνι ἔσται». ἀγνοεῖς, φησίν, ὅτι πολλάκις αὐτοὶ οἱ τῇ σῇ ζωῇ ἐπιβουλεύσαντες, τῶν σῶν χρημάτων διάδοχοι ἔσονται; ὅρα δέ, οὐκ εἶπεν ἃ «ἐθησαύρισας», ἀλλ᾽ «ἃ ἡτοίμασας», ἐπειδὴ ὁ πλούσιος οὔπω συνῆξε τοὺς καρπούς, ἀλλὰ πρὸ τῆς τῶν καρπῶν συγκομιδῆς ταῦτα διελογίζετο καὶ ἡτοίμαζεν ἑαυτῷ, ἃ μήπω συνέλεξε καὶ ἐθέρισεν.

Ὑψηλότερον δὲ «νύκτα» νοητέον τὴν ἄγνοιαν τοῦ καλοῦ· κατελίμπανον γὰρ τοὺς ἀληθεῖς προφήτας καὶ διδασκάλους καὶ προσεκολλῶντο

1 Ψαλμ. 138,11 3-15 Θεοφ. Βουλ. Migne P. G. 123, 888C
20 Γεν. 6,3.

3 ἐμὲ] ἐμοῦ F 6 ἀποτόμου F 12 ὑπόθεσιν F 13 πιώσας AIF
14 ἔχειν om. F 16 ὁ λόγος om. F.

τοῖς μὴ τοιούτοις, κόλαξί τισι καὶ διεφθαρμένοις ἀνθρώποις καὶ πλάνοις· ἀλλὰ καὶ τὴν τρυφήν. τὸ δὲ «τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ» τάχα μοι νοητέον ἁπλουστέρως, ὅτι, ἐν ὅσῳ τοῖς ἑαυτῶν ἀγαθοῖς καὶ ταῖς δοκούσαις τοῦ βίου εὐημερίαις ἐνετρύφων οἱ Ἰουδαῖοι, τοῖς ἔθνεσιν εἰς αἰχμαλωσίαν παρεδίδοντο. πῇ μὲν ὑπὸ τῶν Βαβυλωνίων αἰχμαλωτιζόμενοι καὶ οἰκτρῶς ἀναιρούμενοι, πῇ δὲ ὑπὸ τοῦ Μακεδόνος Ἀντιόχου σφίσιν ἐπιστρατεύσαντος, πῇ δὲ ὑπὸ τῶν Ῥωμαίων, Πομπηίου Μάγνου ἑλόντος τὰ Ἱεροσόλυμα. ἐῶ λέγειν τὰς κατὰ μέρος πολιορκίας. τάχα μὲν οὖν ἁπλούστερον τοῦτο, ὡς εἴρηται, ἐκδεξώμεθα. νοήσωμεν δὲ «ψυχὴν» καὶ τοὺς παρ᾽ αὐτοῖς προέχοντάς τε καὶ δυναστεύοντας. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· σὺ μὲν θαῤῥεῖς τοῖς ψευδοδιδασκάλοις καὶ πᾶσαν ἔχεις ἐπ᾽ αὐτοῖς τὴν πεποίθησιν καὶ ἴσα καὶ ψυχὴν λογίζῃ αὐτοῖς. ἐγὼ δὲ τοὺς κατὰ ψυχὴν τιμωρουμένους σοι ἀφελῶ ἀπὸ σοῦ. ἀλλ᾽ ἴδωμεν καὶ τὸ τῆς παραβολῆς ἐπιφώνημα.

«Οὕτως ὁ θησαυρίζων ἑαυτῷ καὶ μὴ εἰς Θεὸν πλουτῶν».

Τοιοῦτός ἐστι, φησίν, ἄφρων, δηλαδὴ πᾶς ὁ μὴ εἰς Θεὸν πλουτῶν. καλῶς ἄρα εἶπε καὶ ὁ προφήτης· «μέντοι γε ἐν εἰκόνι διαπορεύεται πᾶς ἄνθρωπος ζῶν». ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι οὐδὲν τῶν ἐν εἰκόνι γεγραμμένων διαφέρουσιν οἱ ζῶντες ἄνθρωποι· ὁμοίως γὰρ καὶ τούτων κἀκείνων ἡ φύσις ὑποῤῥεῖ τῷ χρόνῳ καὶ φθείρεται. ἀλλ᾽ ὅμως οὐδὲν ἧττον διαταράττονται φιλονεικοῦντες, διαμαχόμενοι περὶ πραγμάτων παρερχομένων καὶ ζάλης ἅπας ὁ βίος μεστός, τέλος ἔχων τὸν θάνατον. σὺν πόνῳ δὲ πολλῷ καὶ ἱδρῶτι τὸν πλοῦτον ἀθροίζοντες, τὸν ἐσόμενον οὐκ ἴσασιν.

Ἀλλ᾽ ἡμεῖς, ἀδελφοί, μὴ ἑαυτοῖς θησαυρίζωμεν, τῇ καταργουμένῃ γαστρὶ χαριζόμενοι καὶ τοὺς προσερχομένους ἡμῖν ἀποπεμπόμενοι πένητας, μηδὲ πλουτῶμεν ἀδίκως, ἀλλ᾽ ἐκ Θεοῦ τὸν πλοῦτον ἔχειν οἰόμενοι, μὴ ἀποστερῶμεν τὸν Θεὸν τῶν αὐτοῦ ἀγαθῶν. τάχα δὲ καὶ εἰς Θεὸν πλουτεῖ τις, ὅταν ἐπ᾽ ἐκείνῳ θαῤῥῇ καὶ τοῦτον ἔχειν ἡγῆται δόξαν καὶ πλοῦτον καὶ καύχημα. καὶ τὸ πιστεύειν δ᾽ εἰς Θεόν, ὅτι, ἐὰν πάντα δώσω καὶ κενώσω, οὐδέν μοι τῶν ἀναγκαίων ἐπιλείψει, ἀλλ᾽ ὅταν χρῄζω, πάντα τὰ χρειώδη πορίσομαι. τοῦτό ἐστι τὸ «εἰς Θεὸν πλουτεῖν». ὅστις δὲ οὐ πέποιθεν ἐπὶ Θεῷ, ἀλλ᾽ ἐπήλπισεν ἐπὶ τῷ πλή-

---

17 Ψαλμ. 38,6 28-32 Θεοφ. Βουλγ. Migne P. G. 123, 889.

1 μὴ om. A 6 τῶν Μακεδόνων F τοῦ Ἀντιόχου AF 10 καὶ ψυχὴν A 25 κατηγορουμένῃ A 30 κἂν A 33 ἐπὶ Θεὸν A.

θει τοῦ πλούτου αὐτοῦ, ἀκούσεται· «ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ». ἐξετάσωμεν δὲ καὶ τὰ τῇ παραβολῇ ἐπαγόμενα.

[«Ταῦτα λέγων, ἐφώνει· ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω».

Ὦτα ἐνταῦθα οὐ τὰ σωματικά φησιν, ἀλλὰ τὰ ψυχικά, ἐπεὶ πάντες ὤτων εὐποροῦμεν σωματικῶν. ὥσπερ γὰρ διπλοῦς ἐστιν ὁ ἄνθρωπος, ἐκ ψυχῆς καὶ σώματος, οὕτω καὶ τὰ αἰσθητήρια διττά, σωματικά τε καὶ ψυχικά. τῶν γοῦν σωματικῶν ὤτων ἴδιον τὸ ἀκροθιγῶς τὸν λόγον ἀκούειν, ἁπλαῖς, ὅ φασιν, ἐπιβολαῖς· τῶν ψυχικῶν δέ, τὸ μετὰ συνέσεως ἀκροᾶσθαι καὶ τῇ καρδίᾳ αὐτοὺς ἐντιθέναι καὶ τῇ μνήμῃ φυλάττειν ἀνεπιλήστως εἰς ὑψηλοτέραν τε θεωρίαν ἀνάγειν καὶ τὴν ἀπ' αὐτῶν καρποῦσθαι ὠφέλειαν. ὁ δέ γε τῶν θείων λόγων ἐπακροώμενος καὶ τῇ ἰδίᾳ ψυχῇ τούτους μὴ ἐντιθείς, ἀλλὰ καταφρονητικῶς περὶ αὐτοὺς διακείμενος καὶ μάτην εἰς ἀέρα ἐῶν αὐτοὺς χέεσθαι, οὗτος, κἂν δοκῇ ἀκούειν, οὐκ ἀκούει· οὐ γὰρ ἔχει τὰ τῆς ψυχῆς ὦτα ἐπαΐοντα, ἐπεὶ καὶ ἡμεῖς τότε λέγομεν ἀκούειν ἡμῶν τινα, ὅταν τοῖς παρ' ἡμῶν λεγομένοις πείθηται· εἰώθαμεν γὰρ λέγειν ὅτι ὁ δεῖνά μου ἤκουσεν ἐπιτάτοντος. ὅταν δὲ ἀπειθῇ τις, λέγομεν ὅτι ὁ δεῖνα οὐκ ἤκουσέ μου. τὸ μέντοι ἀκούειν τοῦ ἐνωτίζεσθαι διαφέρει, ὅτι τὸ μὲν ἀκούειν διανοίας ἐστί, τὸ δ' ἐνωτίζεσθαι ψιλὸν τὸν ἦχον ἐντίθεται τοῖς ὠσί.

Τοίνυν καὶ ἡμεῖς, ἀδελφοί, μὴ τὰ ὦτα τῶν ἡμετέρων ψυχῶν πρὸς τὴν τήμερον λεχθεῖσαν παραβολὴν ἀποφράξωμεν, ἀλλ' εἴσω τῆς ἡμετέρας διανοίας ἐνθήσωμεν καὶ διηνεκῶς αὐτὴν ἐν νῷ στρέφοντες, μὴ μιμησώμεθα τὴν τοῦ ἄφρονος πλουσίου ὠμότητα καὶ τὸ τῆς γνώμης τούτου ἀπάνθρωπον, ἀλλ' ἀποστραφῶμεν καὶ βδελυξώμεθα καί, εἴπερ θέλομεν ἐκφυγεῖν τὴν τούτου κατάκρισιν καὶ μὴ ἄφρονες τῷ ὄντι κατονομάζεσθαι, μὴ τὰς παρὰ τοῦ Θεοῦ εὐφορίας καὶ εὐκαρπίας ταῖς ἔργων καλῶν ἀφορίαις καὶ ἀκαρπίαις ἀνταμειψώμεθα· μηδὲ ἐν τοῖς τῶν χωρῶν καὶ ἀγρῶν εὐθηνίαις τὰς ἐξ ἀχαρίστου καὶ ἀπλήστου γνώμης

1 ψαλμ. 51,9 5 ἑ. Ὁ ἑρμηνευόμενος στίχος περιλαμβάνεται εἰς τὰς ἀκολούθους τῶν εὐαγγελίων θέσεις, οὐχὶ δ' ἐν τῇ ἀνωτέρω παραβολῇ: Ματθ. 11, 15. 13,9. 13, 43. Μαρκ. 4,9. 4,23. 7,16. Λουκ. 8,8. 14,35. Περικλείομεν ὅθεν τὴν ἑρμηνείαν τοῦ ῥητοῦ ἐντός [ ].

3 ἐν τῇ ματαιότητι A 12 ἀνεπιλήστους A ἐνάγειν F 17 τινῶν ἡμᾶς F 18 μοῦ] μὲν A 23 ἔσω F 24 διαθήσομεν F 25 τοῦ om. A 30 ἐξ ἀρίστου F.

ἀκάνθας δυσμενῶς τῷ κτίστῃ ἀντεισάγωμεν, ἵνα μὴ καὶ ἡμεῖς ὡς ὁ πάλαι Ἰσραὴλ ὀνειδισθῶμεν· ἴστε γὰρ ὅπως παρὰ Θεοῦ τὴν εὐποιίαν ὀνειδιζόμενος καὶ τὴν τῆς κακουργίας ἀντίδοσιν τὸ «ἐγὼ ἐφυτευσά σε ἄμπελον», θεόθεν ἀκούει, «ἄμπελον καρποφόρον καὶ ὅλην καλήν· πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία» ; καί μοι σκόπει πῶς ἀλλοτρίαν τὴν ἰδίαν ἐκάλεσεν, ὡς τῷ πονηρῷ μονιῷ τῷ διαβόλῳ λελυμασμένην· καὶ ἀντὶ τοῦ ἐπιλέγειν ἕκαστος ἑαυτῷ «φάγε, πίε, εὐφραίνου», πεινῶντας διαθρέψαι, διψῶντας ποτίσαι καὶ παριβαλεῖν γεγυμνωμένους αἱρετισώμεθα. ἀντὶ δὲ τοῦ καθαίρειν καὶ οἰκοδομεῖν τὰς αἰσθητὰς ἀποθήκας, τὰς ἐν τῇ ψυχῇ καθαίρειν τῶν ἁμαρτιῶν ἀποθήκας σπουδάσωμεν, ἵνα ἐν τῇ ἐκείνων καθαιρέσει αἱ τῶν ἀρετῶν οἰκοδομαὶ προσεπιγίνωνται· καὶ σπεύσωμεν εἰς Θεὸν πλουτεῖν, τοῦτέστιν ἐπ᾿ ἐκείνῳ πεποιθέναι, κἀκεῖνον ἔχειν πλούτου ταμίαν καὶ μὴ λέγειν ὅτι «τὰ ἀγαθά μου», ἀλλὰ τὰ ἀγαθὰ τοῦ Θεοῦ. εἰ δὲ Θεοῦ εἰσιν ἀγαθά, μὴ ἀποστερῶμεν τὸν Θεὸν τῶν αὐτοῦ ἀγαθῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν].

3 Ἱερεμ. 2,21

3 ἐγώ σε ἐφύτευσα F   9 καθαίρειν καὶ om. A   15 αὐτοῦ om. F.

ZUSAMMENFASSUNG

Unter den Namen des Johannes Xiphilinos, Patriarchen von Konstantinopel (2. Jan. 1064/2. Aug. 1075) sind in mehr als 27 Hss aus den Jahrh. XIII.—XVIII. 54 «Homilien» überliefert. Bis jetzt war man der Ansicht, dass es sich tatsächlich um «Homilien» (Predigten) handle. Nun steht aber im Cod. Monac. gr. 262 (s. XIII.), der ältesten von allen Hss (fol. 7b): «τὰ δὲ προοίμια ζήτει τοῦ καθ᾽ ἑνὸς εὐαγγελίου πρὸς τὰ μέσα τοῦ βιβλίου, ἅτινά εἰσι τοῦ κεραμιώτου σικελίας, ὥς ἐγῷμαι...κλέψας, ὥς ἐν ὑποθέσεσι ταῦτα, ἀπὸ τῶν προοιμίων τοῦ κῦρ μιχαήλ». Diese leider nicht ganz klare Bemerkung scheint doch soviel erkennen zu lassen, dass die Prooimien, welche den Evangelienerklärungen in der Ueberlieferung meist vorangestellt sind, ursprünglich nicht zugehörig sind. Das wird in der Tat noch besser ersichtlich, wenn man irgendeine von diesen sogenannten «Homilien» aufmerksam liest und sie stilistisch mit dem vorangestellten «Prooimion» vergleicht. Aus dieser Vergleichung ergibt sich desweiteren, dass es sich gar nicht um «Homilien» (im Sinne von Predikten), sondern um ἑρμηνεῖαι, oder — wie dies in mehreren Hss auch ausdrücklich steht — um ἑρμηνευτικαὶ διδασκαλίαι handelt. Dies wird endlich auch durch den Verfasser selbst bestätigt, der im Texte immer von ἐξήγησις oder ἑρμηνεία, nirgends von ὁμιλία spricht. Wie eine Stelle aus des Michael Psellos Ἐπιτάφιος εἰς Ἰωάννην Ξιφιλῖνον (Σάθα, Μεσ. Βιβλ. IV, 451 f.) nahelegt, sind die ἑρμηνευτικαὶ διδασκαλίαι wahrscheinlich, für einen bestimmten Zweck abgefasst, nämlich um «die Zöglinge der Kirche» in der Evangelienexegese zu unterrichten; als Lehrstücke dieser Art sind sie wohl entweder persönlich oder durch einen Vertreter, in der Theologenschule des Patriarchats vorgetragen worden.

Sophronios Eustratiades hat im Jahre 1903 25 von diesen dort anonym überlieferten «Homilien» aus dem Cod. Vind. theol. gr. 43 herausgegeben und ist in seinen Prolegomena zu dem Schluss gekommen es handle sich um Homilien des Theophylaktos, Erzbischof von Bulgarien (Ende XI.—Anfang XII. Jahrh.). Die Untersuchung aller erreichtbaren Hss

lässt jedoch keinen Zweifel, dass nicht Theophylaktos der Verfasser der «Homilien» ist, sondern Johannes Xiphilinos; mehr als 25 Hss aus den Jhh. XIII.—XVIII. geben Xiphilinos als Verfasser an. Wenn in mehreren anderen Hss die gleichen «Homilien» als Werke des Johannes von Chalkedon, in anderen als Werk verschiedenen Verfasser, nämlich des Germanos, des Philotheos, des Manuel Kalekas, des Joannes Kalekas, des Theophanes Kerameus, des Michael (?) oder des Theophylaktos von Bulgarien gehen, so ergibt die Untersuchung des gegenseitigen Verhältnisses der Hss, dass sie mit all diesen Namen nur irrtümlich verbunden worden sind und ursprünglich dem Johannes Xiphilinos gehören. Die exegetischen Erklärungen des Johannnes Xiphilinos gehören eben zu jenen nicht seltenen Erzeugnissen der byzantinischen theologischen Literatur, welche in der Ueberlieferung die verschiedensten berühmten Namen angenommen haben, eine Entwicklung, welche durch den Mangel an Originalität in der gesamten mittel- und spätbyzantinischen Homiletik und Exegetik begünstigt wurde; beruhte doch alle Exegese gleichmässig auf der Autorität der alten Kirchenväter. Um die Homiletik und Hermeneutik der Spätbyzantiner richtig zu charakterisieren, ist es nötig sie mit den verschiedenen Katenen zu vergleichen, um den Grad ihrer Abhängigkeit von den ältesten Kirchenvätern zu erkennen. Völlige Klarheit über die Abhänigkeitsverhältnisse wird erst eine umfassende Vergleichung der schwer übersehbaren Literatur aller Gattungen dieses Gebietes bringen können, wie sie durch die Arbeiten von Lietzmann und Karo für die Katenen und von Ehrhard für die homiletische und hagiographische Literatur eingeleitet worden ist.

Die exegetische Methode, die Xiphilinos anwendet, ist die sogenannte «analytische Methode,» d. h. die grammatische, historische und allegorische (ἀνωτέρα καὶ ὑψηλοτέρα ἡ τῆς ἀναγωγῆς) Erklärung der Evangelienstücke und auch manchmal der einzelnen Worte, durch die er von allen Seiten her das Verständnis der schwierigen Stellen herbeizuführen sucht.

Der Wert der ἑρμηνευτικαὶ διδασκαλίαι des Xiphilinos liegt weniger in ihrem selbständigen Inhalt als darin, dass durch sie manches wertvolle Stück aus den alten Kirchenvätern und aus anderen Kirchenschriftstellern gerettet wurde. Zu betonen ist noch, dass uns in Xiphilinos mit seinen ἑρμηνευτικαὶ διδασκαλίαι der älteste Exegete der mittel- und spätbyzantinischen Literatur greifbar wird, da er älter ist als Theophylaktos von Bulgarien und Euthymios Zygabenos. Aus dem Text des Xiphilinos geht hervor, dass Theophylaktos entweder den Xiphilinos vor Augen gehabt hat oder —was wahrscheinlicher ist— beide die gleiche Katene abgeschrieben haben, in der Chrysostomos die Hauptrolle spielte. Die Nachweise der Vorlagen des Xiphilinos sind in meiner Arbeit nach Möglichkeit gegeben; es sind: Chrysostomos (weit vorwiegend), Kyrillos von Alexandreia, Titos von Bostra, Origenes, Ammonios, Theodoros von Mopsuestia u.v.a. Bisher unbekannte Stellen älterer Kirchenväter sind in einer besonderen Tabelle zusammengestellt.

Von den 27 bekannten Hss habe ich 14 selbst eingesehen und photographiert; unter ihnen ist der Cod. Monac. gr. 262 die wichtigste. Auf Grund der Texte dieser Hss habe ich die Untersuchung gemacht und ein Schema der Ueberlieferungszusammenhänge aufzustellen versucht.

Auf die Beschreibung und Vergleichung der Hss folgt eine kurze biographische Skizze über den Patriarchen Johannes Xiphilinos mit einer charakterisierenden Zusammenstellung seiner Schriften.

Die Arbeit schliesst mit der Probeausgabe einer ἑρμηνευτικὴ διδασκαλία.

ΠΙΝΑΚΕΣ

I.

ΠΡΟΣΩΠΩΝ, ΛΕΞΕΩΝ ΚΑΙ ΠΡΑΓΜΑΤΩΝ

II.

ΚΩΔΙΚΩΝ

LEBENSLAUF

Am 5. Juni 1905 wurde ich, Konstantin Bonis in Astakos-Aetolo-akarnanien (Griechenland) geboren. Nach vierjährigem Besuch der Volksschule meines Heimatdorfes trat ich im September 1915 in die Mittelschule (Hellenikon Scholeion) zu Astakos ein, die ich im Juni 1918 verliess. Im September 1918 trat ich in das humanistische Gymnasium zu Leukas über, das ich am 15 Juli 1928 mit dem Reifezeugnis verliess. Im Oktober 1922 wurde ich an der juristischen Fakultät der Universität von Athen immatrikuliert. Nach einjährigem Studium an der juristischen Fakultät, habe ich dieses Studium aufgegeben und mich dem der Theologie an der gleichen Universität gewidmet. Im Juli 1927 habe ich mein Diplom bekommen und ab 1. April 1928 war ich als Studienrat in einer Mittelschule zu Kephallonien und dann im Iten humanistischen Gymnasium zu Patras tätig. Im Oktober 1932 habe ich, nach abgelegter Prüfung, vom Kultusministerium den Auftrag erhalten in Deutschland weiter zu studieren. Im Winter und Sommer-semester 1932/33 widmete ich mich an der Universität München dem Studium der mittel-und neugriechische Philologie, wie auch der Kirchengeschichte. Im Winter-und Sommersemester 1933-34 habe ich mein Studium an der Universität Berlin weitergeführt, wo ich mich besonders mit Paläographie und Geschichte beschäftigte und mich im Winter und Sommersemester 1934/35, wie auch im Winter-und Sommersemester 1935/36 in München dem Studium der mittel-und neugriechischen Philologie gewidmet. In München belegte ich Vorlesungen und Uebungen bei den Herren Prof.: Dölger, Fischer, Göttler, Grabmann, Günther, Heckel, Hönigswald, Huber, Lehmann, Leidinger, Otto, Pauli, Pfeilschifter, Pinder, Rehm, Schwartz, Sommer, Walter, Weigl und Zellinger. In Berlin belegte ich Vorlesungen und Uebungen bei den Folgenden Herren Prof.: Bertholet, Deissmann, Hartmann, Lietzmann, Perels, Seeberg (Reinhold und Erich), Sellin, Schmidt, Spranger, Wichmann und Wulff.

Die vorliegende Arbeit geht auf eine Anregung meines verehrten Lehrers Prof. Dr. Fr. Dölger zurück, dem ich auch an dieser Stelle meinen aufrichtigen und tiefen Dank für unermüdliche Hilfe in Rat und Tat aussprechen möchte.